ὑπερέχει· τὸ δὲ ΙΚ τοῦ Ν οὐχ ὑπερέχει· καί ἐστι τὰ μὲν ΖΘ, ΙΚ
τῶν ΑΒ, Γ ἰσάκις πολλαπλάσια· τὸ δὲ Ν τοῦ Δ ἄλλο ὃ
ἔτυχεν πολλαπλάσιον· τὸ ΑΒ ἄρα πρὸς τὸ Δ μείζονα λό-
γον ἔχει ἤπερ τὸ Γ πρὸς τὸ Δ. λέγω δὴ ὅτι καὶ τὸ Δ πρὸς
τὸ Γ μείζονα λόγον ἔχει ἤπερ τὸ Δ πρὸς τὸ ΑΒ. τῶν γὰρ
αὐτῶν κατασκευασθέντων, ὁμοίως δείξομεν ὅτι τὸ μὲν
Ν τοῦ ΙΚ ὑπερέχει· τὸ δὲ Ν τοῦ ΖΘ οὐχ ὑπερέχει· καί ἐστι
τὸ μὲν Ν τοῦ Δ πολλαπλάσιον· τὰ δὲ ΖΘ, ΙΚ τῶν ΑΒ, Γ
ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια· τὸ Δ ἄρα πρὸς
τὸ Γ μείζονα λόγον ἔχει ἤπερ τὸ Δ πρὸς τὸ ΑΒ. ἀλλὰ δὴ
τὸ ΑΕ μεῖζον ἔστω τοῦ ΕΒ. τὸ δὴ ἔλαττον τὸ ΕΒ πολλα-
πλασιαζόμενον ἔσται ποτὲ τοῦ Δ μεῖζον. πεπολλα-
πλασιάσθω καὶ ἔστω τὸ ΗΘ πολλαπλάσιον μὲν τοῦ ΕΒ,
μεῖζον δὲ τοῦ Δ· καὶ ὁσαπλάσιόν ἐστι τὸ ΗΘ τοῦ ΕΒ, το-
σαυταπλάσιον γεγονέτω καὶ τὸ μὲν ΖΗ τοῦ ΑΕ, τὸ δὲ ΙΚ
τοῦ Γ. ὁμοίως δὴ δείξομεν ὅτι τὰ ΖΘ, ΙΚ τῶν ΑΒ, Γ ἰ-
σάκις ἐστὶ πολλαπλάσια· καὶ εἰλήφθω ὁμοίως τὸ Ν
πολλαπλάσιον μὲν τοῦ Δ, πρώτως δὲ μεῖζον τοῦ ΖΗ·
ὥστε πάλιν τὸ ΖΗ τοῦ Μ οὐκ ἔστιν ἔλασσον. μεῖζον δὲ
τὸ ΗΘ τοῦ Δ. ὅλον ἄρα τὸ ΖΘ
τῶν Δ, Μ, τουτέστι τοῦ Ν ὑπερέχει.
τὸ δὲ ΙΚ τοῦ Ν οὐχ ὑπερέχει· ἐ-
πειδήπερ καὶ τὸ ΖΗ μεῖζον ὂν τοῦ
ΗΘ, τουτέστι τοῦ ΙΚ, τοῦ Ν οὐχ ὑ-
περέχει· καὶ ὡσαύτως κατακο-
λουθοῦντες τοῖς ἐπάνω περαί-
νομεν τὴν ἀπόδειξιν. τῶν ἄρα ἀνίσων μεγεθῶν τὸ μεῖζον
πρὸς τὸ αὐτὸ μείζονα λόγον ἔχει ἤπερ τὸ ἔλαττον· καὶ τὸ
αὐτὸ πρὸς τὸ ἔλαττον μείζονα λόγον ἔχει ἤπερ πρὸς τὸ
μεῖζον· ὅπερ ἔδει δεῖξαι:–

θ Τὰ πρὸς τὸ αὐτὸ τὸν αὐτὸν ἔχοντα λόγον, ἴσα ἀλλήλοις ἐστί·
καὶ πρὸς ἃ τὸ αὐτὸ τὸν αὐτὸν ἔχει λόγον, ἐκεῖνα ἴσα ἐστίν.
ἐχέτω γὰρ ἑκάτερον τῶν Α, Β πρὸς τὸ Γ τὸν αὐτὸν λόγον.
λέγω ὅτι ἴσον ἐστὶ τὸ Α τῷ Β. εἰ γὰρ μή, οὐκ ἂν ἑκάτε-
ρον τῶν Α, Β πρὸς τὸ Γ τὸν αὐτὸν εἶχεν λόγον· ἔχει δέ·
ἴσον ἄρα ἐστὶ τὸ Α τῷ Β. ἐχέτω δὴ πάλιν
τὸ Γ πρὸς ἑκάτερον τῶν Α, Β τὸν αὐτὸν
λόγον· λέγω ὅτι ἴσον ἐστὶ τὸ Α τῷ Β· εἰ γὰρ
μή, οὐκ ἂν τὸ Γ πρὸς ἑκάτερον τῶν Α, Β
τὸν αὐτὸν εἶχε λόγον· ἔχει δέ· ἴσον ἄρα
ἐστὶ τὸ Α τῷ Β. τὰ ἄρα πρὸς τὸ αὐτὸ τὸν
αὐτὸν ἔχοντα λόγον, ἴσα ἀλλήλοις ἐστί·
καὶ πρὸς ἃ τὸ αὐτὸ τὸν αὐτὸν ἔχει λόγον, ἐκεῖνα ἴσα ἐστίν·
ὅπερ ἔδει δεῖξαι:–

ι Τῶν πρὸς τὸ αὐτὸ λόγον ἐχόντων, τὸ μείζονα λόγον ἔχον,
ἐκεῖνο μεῖζόν ἐστι· πρὸς ὃ δὲ τὸ αὐτὸ μείζονα λόγον
ἔχει, ἐκεῖνο ἔλαττόν ἐστιν. ἐχέτω γὰρ τὸ Α πρὸς τὸ Γ
μείζονα λόγον ἤπερ τὸ Β πρὸς τὸ Γ. λέγω ὅτι τὸ Α μεῖ-
ζόν ἐστι τοῦ Β. εἰ γὰρ μή, ἤτοι ἴσον ἐστὶ τὸ Α τῷ Β ἢ ἔ-
λασσον. ἴσον μὲν οὖν οὐκ ἔστιν τὸ Α τῷ Β· ἑκάτερον γὰρ
ἂν τῶν Α, Β πρὸς τὸ Γ τὸν αὐτὸν εἶχε λόγον· οὐκ ἔχει δέ·
οὐκ ἄρα ἴσον ἐστὶ τὸ Α τῷ Β. οὐδὲ μὴν ἔλασσόν ἐστι τὸ Α